τῷ Δαιμονίῳ εἴρηται Πλάτωνι. Χρὴ οὖν τὸ δριμὺ τῶν πόνων τῷ ἡδυτέρῳ συγκεραννύειν τῆς ἀνέσεως, καίγε ἐκ διαλειμμάτων, ὥσπερ κιθάρας χορδὰς, τὰς τῶν φρενῶν ἐπιτείνειντε καὶ ἀνιέναι. Κατὰ γὰρ τὸ Ἀδέσποτον ἐκεῖνο, ὃ τῷ Λουκιανῷ εἰσὶν οἳ προσένειμαν,

Ἓξ ὧραι μόχθοις ἱκανώταται· Αἱ δὲ μετ' αὐτὰς,
„Γράμμασι δεικνύμεναι, ΖΗΘΙ λέγουσι βροτοῖς.

Ὢ δὴ καὶ ἡμῖν ποτὲ ἐπιπέπαικται, τὴν ἐπὶ τοὺς πόνους ἐπάνοδον ἀπὸ τῆς δεκάτης ἐφεξῆς, ὧδε διασημιώασιν,

„Ἢν δὲ παρελθὼν αὖ καμάτων ἄψῃ δαπανηρῶν,
„Καρκινοβατέοντ', αὖθι λέγουσι ΒΙΑΙ.

# ΠΡΟΔΙΑΤΡΙΒΗ
## ΤΡΙΤΗ.

### Περὶ τῶν ἐν ἡμῖν Γνωστικῶν Δυνάμεων· Καὶ τῶν κατ' αὐτὰς ἐνεργειῶν· Καὶ περὶ Ἕξεων.

§. α'.

Πάντες ἄνθρωποι, ᾗ φύσεως ἔχοντες εἰσὶ, ταύτῃ καὶ τῆς ἐπὶ τὸ γινώσκειν συμμοιροῦσι δυνάμεως. Ἐντεῦθεν καὶ ὁ ἰσχυρῶς ἅπασιν ἐντετηκὼς περὶ τὸ εἰδέναι καὶ ἐπίσασθαι ἔρως, οὗ σημεῖον καὶ ἡ τῶν αἰσθήσεων ἐλήφθη ἀγάπησις. (1). Ὡς κενῆστε ἄλλως καὶ φροῦδης ἂν οὔσης, τῆς πρὸς μηδὲν ἐκβῆναι πέρας δυναμένης ἐφέσεως· καὶ πρὸς τὸ μηδόλως τῇ νοήσει προληφθὲν, μηδ' εἶναι τὴν ἀρχὴν, φύσιν ἐχούσης. Τοῦ γὰρ ἀγνοουμένου, ὥσπερ οὐδὲ κρίσις, οὐθ' ὑπόληψις, οὕτως οὐδ' αἵρεσις, οὐδ' ἔρως ἐγγένοιτ' ἂν οὐδεὶς οὐδενὶ οὐδόλως. (2). Ἡμῖν δὲ, καὶ τοῦτό γε ἀνδοῦ, καθ' ἑαυτὴν ἡ τοῦ γινώσκειν ἀριδήλως περιοῦσα ἐμφαίνεται δύναμις, ὡσανεὶ φῶς αὐτο-

(1) Ἀριστ. Μεταφ. τῶ Μείζ. Α'. Κεφ. α'.

(2) Τὰ γὰρ ὀρεγόμενα καὶ αἰσθάνεσθαι τοῦ ὀρεκτοῦ ἀνάγκη. Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρίδ. Κ. α'.



αὐτοφανὲς, φωτὸς ἑτέρου πρὸς ἔκφανσιν μὴ δεόμενον, ἐξ ἑαυτῆς πλουτοῦσα οἴκοθεν τὸ αὐτόπιστον. Τὰ γὰρ παρ' ἑαυτὴν ἅπαντα ἡ ψυχὴ κρίνειν οἷατε οὖσα, ὅσα τῶν ἰδίων αὐτῆς οὐκ ἐξήρηται ὅρων, αὐτὴ τέως πρὸς ἑαυτὴν ἐπιστραφεῖσα, καὶ εἰς ἑαυτὴν συννεύσασα, τό, τε κρῖνον ἐστὶν ἅμα, καὶ τὸ κρινόμενον. Τὰ μὲν γὰρ ἄλλα τῶν ὄντων ὁπωσοῦν οἶδεν, ἑαυτῇ δὲ σύνοιδεν ἀτρεκῶς ταῦτ' εἰδυῖα, καὶ ἐπισαμένῃ συνεξεπίσαται. Καὶ δὴ, καὶ πρὸ τούτων ἑαυτὴν ἐπιγιγνώσκουσα ἐστὶ πολὺ πρότερον, εἰ μηδὲν ἄλλο, ἀλλὰ γοῦν ὑπάρχουσαν· Καὶ παντοῖα, τὰ μὲν δυναμένην, τὰ δ' ἐνεργοῦσαν, τὰδ' ἄλλοτ' ἄλλως διακειμένην. Οὐδὲ γὰρ οὐδ' οὖσαν, οὐδὲ γιγνώσκειν ἑαυτὴν ἀγνοῆσαι ἄν ποτε πεφυκεῖαν, οὐδὲ γιγνώσκουσαν.

§. β'. Τῷ δὲ τρόπῳ τῆς τοιᾶσδε γνώσεως συνείδησις ὄνομα, ἢ συναίσθησις, ἢ συνεπίγνωσις, ἤτι τοιοῦτον, οἷον ἂν τὴν εἰς ἑαυτὸ σύννευσιν τοῦ γνωστικοῦ ἐμφαίνειν δυνάμενον. Καὶ ἔσω τὰ κατ' αὐτὸν ληπτὰ, τῶν ἡμῖν γινωσκομένων τὰ πρῶτα, καὶ βεβαιότατα, καὶ πάντῃ πάσης ἀμφιβολίας ἔξω ἱστάμενα. Οὗτος γὰρ ὡς ἄντις ἀληθείας γνώμων ἀστραβής τε καὶ ἀπαρέγκλιτος ἡμῶν ἑκάστῳ ἐγκαταβέβληται τῇ ψυχῇ, καὶ τοῦτο γνώσεως ἁπάσης οἷον κριτήριον ἀψευδέστατον ἵδρυται. (1). Οὐδ' ἔστιν ἄλλοθεν, ἢ ἐκ τούτου σταθμήσασθαι, τοῖς ἑαυτῶν ἀτενῶς ἐνθυμίοις προσέχοντας, ὁπώς ποτε περὶ αὐτὰ τυγχάνομεν ἔχοντες. (2). Καὶ γὰρ καὶ ὁ ἀκλινῶς τι καὶ ἀκινήτως εἰδὼς, αὐτόθεν ἔχει τὸ ἀραρὸς ἑαυτῷ τῆς ἐννοίας καὶ βέβαιον, καὶ ὡς εἰπεῖν ἀδιάσειστον· Ὅ, τε ὑπονοῶν, καὶ ὑπενδοιάζων τὴν γνώμην, ἑαυτὸν οὐ λέληθεν ἀστατοῦντα, καὶ σαλευόμενον. Καὶ οὐδ' ἂν ὁ ἀπορῶν ὡς ἀποροίη, οὔθ' ὁ ἀγνοῶν ὡς ἠγνόησέτι, οὐδ' ἂν εἰ πάνυ βουληθεὶς, ἐπιεικῶς ἀγνοήσειε, καὶ εἰ τὰ Σέξτου παίζων καὶ Πύρρωνος, ἄλλοτι λέγειν παρ' „ὃ πέπεισαι πλάττοιτο. Τὸ γὰρ ἀδύνατον εἶναι φάσκειν τὸ „αὐτὸ καὶ κρῖνον καὶ κρινόμενον, καὶ πιστὸν καὶ ἄπιστον ὑπάρχειν

(1) „Ὥστε τὸν ἐν ἑκάστῳ λόγον Κα„νόνα εἶναι διακριτικὸν τοῦ ἀγαθοῦ καὶ τοῦ „κακοῦ, τοῦ ἀληθοῦς καὶ τοῦ ψεύδους. Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρίδ. Κ. οβ'.

(2) „Τίς δ' οὐκ ἔχει συναίσθησιν τοῦ „θέλειν καὶ μὴ θέλειν, καὶ τοῦ αἱ„ρεῖσθαι καὶ ἐκκλίνειν, καὶ τοῦ συντί„θεσθαι καὶ ἀπαρνεῖσθαι; Σιμπλίκ. εἰς τὸ Ἐπικτ. Ἐγχειρ. Κεφαλ. α'.